λυκρετίνην[38] δὲ ταύτην, θυγατέρα σπουρίου λουκρετίου, εὗρον ἐνεργοῦσαν σωφρόνως. ἐκτότε δὲ ὁ μιαρὸς σέξτος ἐπεβούλευσε τὴν σωφροσύνην αὐτῆς καθυβρίσαι, καὶ ἐκλαβόμενος ἀδείας, ἀνῆλθε παρ᾽ αὐτήν· ἦν γὰρ καὶ καθ᾽ αἷμα συγγενής· καὶ ἐπεχείρει βιάζειν. ὡς δ᾽ οὐχ εὕρισκε καταπειθῆ, σφάττειν ταύτην ἠπείλει. ἡ δὲ ἕτοιμος ἦν ἀποθανεῖν, ἢ σωφροσύνην ὑβρίσαι. ὁ δὲ σφάττειν ἠπείλει αὐτήν, καὶ οἰκέτην συμπαραθεῖναι αὐτῇ ἐσφαγμένον, ὡς δῆθεν μοιχευομένην αὐτὴν ἑλών, καὶ συναπεσφακὼς τῷ οἰκέτῃ. τοῦτο ἀκηκουῖα σώφρων λουκρετία, παραχωρεῖ μὲν τῷ μιαρῷ σέξτῳ μιγῆναι αὐτῇ, ὕστερον δὲ μάχαιραν κατασκευάσασα ὑπὸ τὴν[39] κλίνην ταύτην κατέθετο. εἶτα τοῦ πατρὸς, καὶ τοῦ ἀνδρὸς, ἐκ τῆς στρατείας ἀναστραφέντων, δηλοῖ τὰ σύμπαντα αὐτοῖς περὶ τοῦ μιαροῦ σέξτου, καὶ εἰποῦσα, εἰ ἄνδρες ἐστὲ, [αὐ]τοὺς ἐκδικήσατε, αἰφνιδίως παίει ἑ[αυ]τὴν τῇ μαχαίρᾳ, καὶ ἀναιρεῖ.

ἌΛΟΧΟΝ[40] ΠΑΝΘΙΗΝ. περὶ τῆς πανθίης ξενοφῶν ὁ ἱστοριογράφος φησί[41], ὡς γυνὴ μὲν ἦν ἀβραδάτου, τοῦ σουσέων[42] βασιλέως, στρατηγοῦ δὲ κύρου, ὃν ὡραιότατον ὄντα, καὶ ἀνδρειότατον, ἐκόσμει τοῖς ἰδίοις κοσμίοις ἡ γυνή, τὴν περικεφαλαίαν, καὶ τὰ ἄλλα τῶν ὅπλων, λιθοκόλλητον[43] ποιοῦσα. ἀναιρεθέντος δὲ αὐτοῦ, τὸ γύναιον κατέκειτο ἐπὶ τῆς γῆς, ὀδυρόμενον, καὶ πενθοῦν, καὶ ἄρτίω τὸν βίον κατέλυσεν, ἀκινάκῃ ἑαυτὴν ἀποσφάξασα, καὶ περὶ τὰ στέρνα τοῦ ἀνδρὸς ἐπιθεῖσα τὴν κεφαλήν, ἣν καὶ ἐν μνηματίῳ συνεκάλυψε τῷ ἀνδρὶ ὁ τάφος:—

32. scribe, ἡ μὲν, & mox, ἡ δὲ πιτάνης. 33. καὶ, εἶπε. 34. καὶ δίκτυν. 35. τε lege, ut ἐν τῷ κειμένῳ. 36. ἴσ. ἐγερίου Livius, ^Ubi & Collatinus coenabat Tarquinius, Egerii filius. 37. Arens Latinis sentit. 38. λουκρετίαν rectius. 39. Sub veste Livius. 40. Xenophon Πανθείαν 40+ Cyropaed. Z'. 41. καὶ φησίν. 42. ἴσ. σουσίων. 43. καὶ λιθοκόλλητον, vel potius λιθοκόλλητα.

http://digital.slub-dresden.de/ppn346492408/15